OF THE
UNIVERSITY OF ILLINOIS

CLAUDII GALENI

LIBRUM

DE PARVAE PILAE EXERCITIO

AD CODICUM LAURENTIANI PARISINI MARCIANI
AUCTORITATEM

EDIDIT

JOHANNES [redacted]
DR. [redacted]

ACCEDIT

DE SPHAEROMACHIIS VETERUM
DISPUTATIO.

GUSTROVIAE.
APUD OPITZIUM.
MDCCCLXXIX.

Claudii Galeni libellum, qui De parvae pilae exercitio inscribitur, inter scripta, quae ad rem sphaeristicam spectant, non ultimum locum obtinere et per se constat et eo potissimum confirmatur, quod ab omnibus, qui de re gymnastica et de ludis veterum scripserunt, summis laudibus effertur. Ac cum multa in eo inveniantur, quae non modo ad utilitatem lusionis pilaris demonstrandam, sed etiam ad singula pilae ludorum genera illustranda maximi momenti sint, non indignus videtur esse, qui accuratius pertractetur.

Itaque nuper Georg Helmreich, vir doctissimus Galenique studiosissimus nova libelli editione (in Annalibus Lycei apud St. Annam; Augustae Vindelicorum 1878) instituta, verborum contextum codicum a se ipso collatorum auxilio multo emendatiorem edidit, et ab interpolationibus, quibus perturbatus erat, satis liberatum. At tanta in eo erat mendorum lacunarum emblematum copia, ut mirandum non sit, si editorem nonnulla fugerunt, quibus medicina adhibenda erat.

Cum igitur et ipse in castigando hoc libello diu multumque versatus sim, non pauca habeo, quibus contextum me sanare posse confidam, ideoque operae pretium me facturum esse spero, si, quae ipse profecerim, altera editione libelli parata aliis rei peritioribus dijudicanda proposuerim.

Codicum manu scriptorum atque ab Helmreichio inspectorum mihi quoque in hac re pertractanda praesto erant

Cod. Laurentianus LXXIV, 3 membr. saec. XII de quo in Observatt. critic. in Cl. Galeni librum περὶ ψυχῆς παθῶν καὶ ἁμαρτημάτων. (Lips. 1870.) p. 11. accuratius disserui; Contulit Vir doctissimus Vitelli Prof. Florentinus.

Cod. Marcianus 276 chart., aetatis ut videtur recentissimae, de quo vide Helmr. praef. pag. 3. Contulit Daniel Riccoboni Regii Lycei Veneti Professor.

Praeter hos etiam Codicem Parisinum ex Bibliotheca Nationali (Supplem. Graec. 35 saec. XVI) adhibui, quem Alfred Schoene in meam gratiam diligentissime excussit. Cuius scripturae adeo cum Laurentiano conspirant, ut dubitari nequeat, quin ad verbum ex eo descriptus sit.

Cum igitur neque ex ceteris tribus Marcianis, quos Helmreich inspexit, neque ex editionibus veteribus Aldina Basileensi Parisiensi vix quidquam ad Galeni manum restituendam redundet, omnis censura in uno Laurentiano nititur, qui quadraginta fere locis prorsus novam scripturam praebet, eamque aut ipsam genuinam aut quae prope absit a genuina. Quinis praeterea locis verba quaedam bono casu servavit, quae in ceteris desiderantur itemque quinis locis

interpolatione foedissima caret, qua in editionibus et recentioribus codicibus sententiarum nexus pessime perturbatur.

De his, quippe quae iam ab Helmreichio uncis inclusae sint, nihil addendum. Sed alterius generis scripturarum, quo ceteris Laurentianum praestare diximus, exemplum afferre liceat, idque splendidissimum ac gravissimum.

Leguntur enim apud Kuehnium Tom. V. pag. 903 haec: „τούτῳ δὲ καὶ ὀσφὺς τείνεται σφοδρῶς, καὶ σκέλη ἑδραῖα τῆς βάσεως ἐν τῷ τοιούτῳ πόνῳ“ de quibus sanandis ipse Helmreich desperavit. At fugit virum doctissimum, in Laurentiano codice haec verba hunc in modum scripta extare: — σκέλη÷ ἑδραῖα^{τ} δεῖ τῆς βάσεως, quibus in margine signo÷ repetito per compendia adscripta sunt καὶ γὰρ οὖν καὶ. Quae in locum suum si inserueris, omnia recte procedent: τούτῳ δὲ καὶ ὀσφὺς τείνεται σφοδρῶς καὶ σκέλη. καὶ γὰρ οὖν καὶ ἑδραιοτάτης δεῖ τῆς βάσεως ἐν τῷ τοιούτῳ πόνῳ.

Hoc loco aliisque huiuscemodi vetor cum Helmreichio facere, qui in praefatione editionis suae pagg. 3 et 5 contendit, Laurentianum, quamquam bonitate scripturae et aetate ceteros omnes longe superaret, tamen ex eodem, quo ceteros, fonte fluxisse. Immo vero propter eas, quas attuli causas, pro certo haberi potest, Laurentiani archetypo cum ceteris omnino nullam intercedere communionem.

At tamen ne Laurentiani quidem auctoritate omnia vitia sanari possunt. Restant multa, quibus medicina ex coniectura quaerenda sit. Quorum in numerum ea maxime refero, quae interpunctione male posita orta sunt. Ut huius quoque rei exemplum nitidissimum afferam, videas, quaeso, quae apud Kuehnium pag. 903 leguntur: „τὸ δὲ καὶ προβαίνειν καὶ εἰς τὰ πλάγια μεταπηδᾶν οὐ σμικρὸν σκελῶν γυμνάσιον. Cap. III. Ἀλλ', εἰ χρὴ τἀληθὲς εἰπεῖν, μόνον ἐστὶ δικαιότατον κινοῦν πάντ' αὐτῶν τὰ μόρια.“ Quae cum a nullo recte intellegerentur, alii alio modo loco succurrere studuerunt.

At tolle puncti signum, quod post γυμνάσιον locum habere non potest, et oratio bene procedet: „τὸ δὲ καὶ προβαίνειν — οὐ μικρὸν σκελῶν γυμνάσιον, ἀλλ', εἰ χρὴ τἀληθὲς εἰπεῖν, μόνον δικαιότατα (L) κινοῦν πάντ' αὐτῶν (scil. τῶν σκελῶν) τὰ μόρια.“

Sed cetera, quae nobis aut mutanda aut expungenda videbantur, qui editionem nostram cum Helmreichiana comparare voluerit, facile inveniet.

Restat, ut Viris maxime venerandis et summa, qua in meam gratiam codices excusserunt non modo diligentia sed etiam liberalitate optime de me meritis, Viris Doctissimis Vitelli et Schoene hoc loco gratias agam quam maxumas.

ΓΑΛΗΝΟΥ
ΠΕΡΙ ΤΟΥ ΔΙΑ ΤΗΣ ΣΜΙΚΡΑΣ ΣΦΑΙΡΑΣ ΓΥΜΝΑΣΙΟΥ.

Cap. I. Πηλίκον μὲν ἀγαθόν ἐστιν εἰς ὑγίειαν, ὦ Ἐπίγενες, γυμνάσια, καὶ ὡς χρὴ τῶν **Kuehn V p. 899** σιτίων ἡγεῖσθαι αὐτά, παλαιοῖς ἀνδράσιν αὐτάρκως εἴρηται, φιλοσόφων τε καὶ ἰατρῶν τοῖς ἀρίστοις· ὅσον δ' ὑπὲρ τἆλλα τὰ διὰ τῆς σμικρᾶς σφαίρας ἐστίν, τοῦτ' οὐδέπω τῶν πρόσθεν ἱκανῶς οὐδεὶς ἐξηγήσατο. δίκαιον οὖν ἡμᾶς, ἃ γιγνώσκομεν, εἰπεῖν, ὑπὸ σοῦ μὲν κριθησόμενα, τοῦ πάντων ἠσκηκότος ἄριστα τὴν ἑαυτοῦ τέχνην, χρήσιμα δὲ καὶ τοῖς ἄλλοις, οἷς ἂν μεταδῷς τοῦ λόγου, γενησόμενα. φημὶ γὰρ ἄριστα μὲν ἁπάντων γυμνασίων εἶναι τὰ μὴ μόνον τὸ σῶμα διαπονεῖν, ἀλλὰ καὶ τὴν ψυχὴν τέρπειν δυνάμενα. **900** καὶ ὅσοι κυνηγέσια καὶ τὴν ἄλλην θήραν ἐξεῦρον, ἡδονῇ καὶ τέρψει καὶ φιλοτιμίᾳ τὸν ἐν αὐτοῖς πόνον κερασάμενοι, σοφοί τινες ἄνδρες ἦσαν καὶ φύσιν ἀνθρωπίνην ἀκριβῶς καταμεμαθηκότες. τοσοῦτον γὰρ ἐν αὐτῇ δύναται ψυχῆς κίνησις, ὥστε πολλοὶ μὲν ἀπηλλάγησαν νοσημάτων ἡσθέντες μόνον, πολλοὶ δ' ἑάλωσαν ἀνιαθέντες. οὐδ' ἔστιν οὐδὲν οὕτως ἰσχυρὸν τῶν κατὰ τὸ σῶμα παθημάτων, ὡς κρατεῖν

Index notarum. L = codex Laurentianus Plut. LXXIV, 3. L^1 = cod. Laurentiani manus prima. L^2 = cod. Laurentiani manus altera. Par. = codex Parisinus. M = codex Marcianus 276. A = editio princeps Aldina (IV, 2. 44). B = editio Basileensis (IV, 301). Ch = editio Parisiensis Charterii (VI, 505). K = editio Kuehniana (V, 899). — om: = omissum vel omissa. sprscr. = superscripto. Nott. = Adnotationes nostrae, quae contextum secuntur. — Editt. = Editiones omnes. — Hlmr. = Editio Helmreichii.

Inscriptio. διὰ τῆς σμικρᾶς LM. om. τῆς Par. Editt. cf. Nott.

1. μὲν LPar.M; om: Editt. — ὦ Ἐπίγενες om: LPar.M. — **2.** ἀρίστοις Codd.Editt.; ἀρτίοις L^1; in ἀρίστοις ras. mutavit m^2. — **3.** τἆλλα nos; Codd. et Editt. τὰ ἄλλα. — τοῦτ' οὐδέπω nos Hlmr.; Codd. Editt. τοῦτο οὐδέπω. τοῦ πρόσθεν M. οὐδεὶς om: M. — **4.** σοῦ μὲν Hlmr. nos; Codd.Editt. σοῦ δὲ. — κριθησόμενα Hlmr. e codicis latini Vaticani auctoritate. Sed et L^1 per compendium scriptum habet κριθησόμενα, quod al. m. correxit in — μεθα. κριθησόμεθα Codd.Editt. — **5.** τὴν ἑαυτοῦ τ. nos cf. Nott.; σαυτοῦ L^1 (L^2 γρ. ἐν αὐτοῖς) M^1 (M^2 γρ. ἐν αὐτοῖς) Par. (in mrg. γρ. ἐν αὐτοῖς); Editt. ἐν αὐτοῖς. — χρήσιμα δὲ καὶ (om: ἱκανῶς εἰρῆσθαι ἂν δόξειε) nos; om: εἰρῆσθαι ἂν δόξειε Hlmr. — Codd.Editt. om: ἄν. — ἄλλοις ἂν μετάδοσιο L^1 sprscr. m^2 οἷς ἂν μεταδῷς — οἷς ἂν μετάδοσις in mrg. μεταδῷς Par. — ἄλλοις ἂν μεταδῷς M. γενησόμενα c. asterisco A. — **6.** γυμνασίων L^1 (L^2 corr. γυμνάσια ex — σίων) M. Edd. γυμνάσια. — **7.** κυνηγέσια LPar.M. κυνηγεσίαν Editt. — θῆραν LPar. — ἡδονὴν καὶ τέρψιν καὶ φιλοτιμίαν τῶν ἐν αὐτοῖς πόνων M. — **9.** ψυχῆς κίνησις nos; L: αὐ^τ̄ om: ἐν; αὐτὴ om: ἐν M. ἐν αὐτῇ δύνανται ψυχῆς κινήσεις Hlmr. — ἐν αὐτῇ δύναται ψυχὴν κινῆσαι. Codd.Editt. — νοσήματος M. — **10.** ἀνυσθέντες M. — οὐδ' ἔστιν οὐδὲν — ἰσχυρὸν nos ex L: οὐδ' ἔστιν οὐδ' et Par. cf. Nott. — οὐκ ἔστι δ' οὐδὲν Hlmr; οὐκ ἔστι δ' οὕτως ἰσχυρόν τι Editt. ἰσχυρόν τι L (τι supra add.); Par. —

τῶν περὶ τὴν ψυχήν. οὔκουν οὐδ' ἀμελεῖν χρὴ τῶν ταύτης κινήσεων, ὁποῖαί τινες ἔσονται, πολὺ δὲ μᾶλλον ἢ τῶν τοῦ σώματος ἐπιμελεῖσθαι τά τ' ἄλλα καὶ ὅσῳ κυριωτέρα σώματος ἡ ψυχή. τοῦτο μὲν δὴ κοινὸν ἁπάντων γυμνασίων τῶν μετὰ τέρψεως, ἄλλα δ' ἐξαίρετα τῶν διὰ τῆς σμικρᾶς σφαίρας, ἃ ἐγὼ νῦν ἐξηγήσομαι.

Cap. II. Πρῶτον μὲν ἡ εὐπορία. εἰ γοῦν ἐννοήσαις, ὅσης δεῖται παρασκευῆς θ' ἅμα καὶ
901 σχολῆς τά τ' ἄλλα πάντα τὰ περὶ τὴν θήραν ἐπιτηδεύματα καὶ τὰ κυνηγέσια, σαφῶς ἂν μάθοις, ὡς οὔτε τῶν τὰ πολιτικὰ πραττόντων οὐδεὶς οὔτε τῶν τὰς τέχνας ἐργαζομένων δύναται μεταχειρίζεσθαι τὰ τοιαῦτα γυμνάσια. καὶ γὰρ πλούτου ταῦτα δεῖται πολλοῦ καὶ σχολὴν ἄγοντος οὐκ ὀλίγην ἀνθρώπου. τοῦτο δὲ μόνον οὕτω γε φιλάνθρωπον, ὡς μηδὲ τὸν πενέστατον ἀπορεῖν τῆς αὐτοῦ παρασκευῆς. οὐ γὰρ δικτύων, οὐδ' ὅπλων, οὐδ' ἵππων, οὐδὲ κυνῶν θηρευτικῶν, ἀλλὰ σφαίρας μόνης δεῖται καὶ ταύτης σμικρᾶς. οὕτω δ' εὔγνωμον εἰς τὰς ἄλλας πράξεις, ὥστ' οὐδεμιᾶς αὐτῶν ὀλιγωρεῖν ἀναγκάζει δι' αὐτό. καίτοι τί ἂν εὐπορώτερον γένοιτο τοῦ καὶ τύχην ἀνθρωπίνην ἅπασαν καὶ πρᾶξιν προσιεμένου; τῶν μὲν γὰρ ἀμφὶ τὰς θήρας γυμνασίων τῆς χρήσεως οὐκ ἐφ' ἡμῖν ἡ εὐπορία. πλούτου τε γὰρ δεῖται τὴν παρασκευὴν τῶν ὀργάνων ἐκπορίζοντος καὶ ἀργίας τὸν καιρὸν ἐπιτηρούσης. τούτου δ' ἡ τῶν ὀργάνων παρασκευὴ καὶ τοῖς πενεστάτοις εὔπορος, ὅ τε καιρὸς τῆς χρήσεως καὶ τοὺς ἱκανῶς ἀσχόλους
902 ἀναμένει. τὸ μὲν δὴ τῆς εὐπορίας αὐτοῦ τηλικοῦτον ἀγαθόν. ὅτι δὲ καὶ πολυαρκέστατον τῶν ἄλλων γυμνασίων, ὧδ' ἂν μάλιστα μάθοις, εἰ σκέψαιο καθ' ἕκαστον αὐτῶν, ὅ τι τε δύναται καὶ οἷόν τι τὴν φύσιν ἐστίν. εὑρήσεις γὰρ ἢ σφοδρὸν ἢ μαλακὸν ἢ τὰ κάτω μᾶλλον ἢ τὰ ἄνω κινοῦν ἢ μέρος τι πρὸ τῶν ἄλλων, οἷον ὀσφὺν ἢ κεφαλὴν ἢ χεῖρας ἢ θώρακα. Πάντα δ' ἐξ ἴσου τὰ μέρη τοῦ σώματος κινοῦν καὶ δυνάμενον ἐπί τε τὸ σφοδρότατον ἀνάγεσθαι καὶ ἐπὶ τὸ μαλακώτατον ὑφίεσθαι τῶν μὲν ἄλλων οὐδέν, τοῦτο δὲ μόνον τὸ διὰ τῆς σμικρᾶς σφαίρας γυμνάσιον, ὀξύτατον ἐν μέρει καὶ βραδύτατον γενόμενον, σφοδρότατον καὶ πρᾳότατόν τε, ὡς ἂν αὐτός τε βουληθῇς καὶ τὸ σῶμα φαίνηται δεόμενον. οὕτω δὲ καὶ τὰ μέρη κινεῖν μὲν ἔστιν αὐτοῦ πάνθ' ὁμοῦ, εἰ τοῦτο συμφέρειν δόξειεν, ἔτι δὲ πρὸ ἄλλων ἄλλα, εἰ

---

1. οὔκουν nos Hlmr.; cf. Nott. p. 11. οὐκοῦν Codd.Editt. — οὐκοῦν — ἔσονται om: M. — πολλαὶ L. πολλὰ Par.; πολὺ M.Editt. — **2.** τά τ' ἄλλα M.Editt., τἄλλα (corr. eadem m. τά τ' ἄλλα) L; — τἄλλα om: τὰ Par. — κυριωτέρα nos et M; κυριώτερον LEditt.; κυριώτερα Par. κυριώτεραι Hlmr. — σώματος ἡ ψυχή Par.Editt..; om: sed in mrg. add. L^1; M. — **5.** πρώτη LPar. — πρῶτον MEditt. — ἐννοήσαισ (σ ab ead. m. supra add.) L. — θ' ἅμα nos Hlmr. τε ἅμα Codd.Editt. — τε ἅμα καὶ σχολῆς om: M. — **6.** θῆραν LPar. — **7.** οὐδεὶς — δύναται M οὐδεὶς — δυνατὸς Hlmr.— οὐδενὶ — δυνατὸν LPar.Editt. — **8.** πλούτου δεῖται πολλοῦ nos ex L: πολλοῦ δεῖται πολλοῦ (alterum πολλοῦ postea deletum). Codd.Editt: πολλῶν — δεῖται. Sed πλούτου — πολλοῦ scribendum esse, etiam Helmr. suspicatur. — **9.** Supra μόνον scriptum habet οὐ L^1. — οὕτω γε LPar. om. γε MEditt. — τὸ πενέστατον M. — αὐτοῦ nos; ἑαυτοῦ Codd.Editt. — **10.** μόνον δεῖται M. — **11.** σμικρᾶς LPar. μικρᾶς MEditt. — εὔγνωμον MEditt. εὐγνώμων LPar. — οὐδεμιᾶς MEditt. οὐδὲ μιᾶς LPar.Hlmr. — **12.** δι' αὐτὸ K; δι' ἑαυτὸ M; δι' αὐτὸ LABCh. δ' αὐτό Par. — ἅπασαν L^1MEditt. ἅπασι L^2 (ex — σαν corr.); Par; προσιεμένου (ου ex ων fecit L^2) Editt. — **13.** ἐφημῖν L. — **14.** ἀργίας σχολῆς L^1Par.Editt. ἀργίας erasit L^2. σχολῇ M. ἀργίας inclusit Hlmr.; nos σχολῆς expunximus cf. Nott. — τούτου L^2 (ex τούτων L^1) Par. — τούτων L^1MEditt. — δ' ἡ ex δὴ corr. L; — δ' ὁ τῶν Par. — δὲ τῶν MEditt. — **15.** πενεστάτοις εὔπορος om: ὡς εἴρηται LPar. et M id quod Hlmr. praeteriisse videtur. — ὡς εἴρηται Editt. εὔπορός τε καιρός L^1 corr. L^2. — ἀσχόλως LPar. — **16.** αὐτῶν L^2 (corr. ex αὐτῷ). αὐτῷ Par. — αὐτοῦ MEditt. — πολυκρατέστατον M. — **17.** οἷόν τι Editt. τι supr. add. L^1Par. — om. τι M. — **18.** μᾶλλον om. M. — πρὸς τῶν ἄλλων L^2Par. — **19.** Post θώρακα punctum habent Par. et B. — **20.** δυναμένου M. — μαλακότατον L.Par. — **21.** σμικρᾶς LMEditt. μικρᾶς Par. — **22.** βουληθῇς — φαίνηται K. βουληθείης — φαίνεται LPar.MABCh. — δεόμενον (δεο in ras.) L; (in mrg. ab ead. m. additum: γρ. ἐμμένον) Par. — ἐμμένον MEditt. — **23.** αὐτοῦ L^2 (corr. ex αὐτὸ) Editt. αὐτῷ Par.M. — ὅμως M. —

καὶ τοῦτό ποτε δόξειεν. ὅταν μὲν γὰρ συνιστάμενοι πρὸς ἀλλήλους καὶ ἀποκωλύοντες ὑφαρπάσαι τὸν
μεταξὺ διαπονῶσι, μέγιστον αὐτὸ καὶ σφοδρότατον καθίσταται πολλοῖς μὲν τραχηλισμοῖς, πολλαῖς δ᾽
ἀντιλήψεσι παλαιστικαῖς ἀναμεμιγμένον, ὥστε κεφαλὴν μὲν καὶ αὐχένα διαπονεῖσθαι τοῖς τραχηλισμοῖς,
πλευρὰς δὲ καὶ θώρακα καὶ γαστέρα ταῖς τε τῶν ἀμμάτων περιθέσεσι καὶ ἀπώσεσι καὶ ἀπο- 903
στηρίξεσι καὶ ταῖς ἄλλαις παλαιστικαῖς λαβαῖς. ἐν τούτῳ δὲ καὶ ὀσφὺς τείνεται σφοδρῶς καὶ σκέλη.
καὶ γὰρ οὖν καὶ ἑδραιοτάτης δεῖ τῆς βάσεως ἐν τῷ τοιούτῳ πόνῳ. τὸ δὲ καὶ προβαίνειν καὶ
εἰς τὰ πλάγια μεταπηδᾶν οὐ μικρὸν σκελῶν γυμνάσιον, ἀλλ᾽, εἰ χρὴ τἀληθὲς εἰπεῖν, μόνον δικαιότατα
κινοῦν πάντ᾽ αὐτῶν τὰ μόρια. τοῖς μὲν γὰρ προϊοῦσιν ἕτερα νεῦρα καὶ μύες, τοῖς δ᾽ ὑποβαίνουσιν ἕτερα
διαπονεῖται πλέον. οὕτω δὲ καὶ τοῖς εἰς τὰ πλάγια μεθισταμένοις ἄλλα. καὶ ὅστις καθ᾽ ἓν εἶδος κινή-
σεως κινεῖ τὰ σκέλη καθάπερ οἱ θέοντες, ἀνωμάλως οὗτος καὶ ἀνίσως τὰ μέρη γυμνάζει.

Cap. III. Ὡς δὲ τοῖς σκέλεσιν, οὕτω καὶ ταῖς χερσὶ τὸ γυμνάσιον τοῦτο δικαιότατον ἐν παντὶ
σχήματι λαμβάνειν ἐθιζομένων τὴν σφαῖραν. ἀνάγκη γὰρ κἀνταῦθα τὴν ποικιλίαν τῶν σχημάτων ἄλλοτ᾽
ἄλλους τῶν μυῶν τείνειν σφοδρότερον, ὥστε πάντας ἐν μέρει πονοῦντας ἴσην ἔχειν ἀνάπαυλαν καὶ οὕτως 904
ἐν μέρει πάντας ἐνεργοῦντάς τε καὶ ἀναπαυομένους οὔτ᾽ ἀργοὺς μένειν τὸ πάμπαν, οὔτε κόποις ἁλίσκε-
σθαι μόνους πονοῦντας. ὄψιν δ᾽ ὅτι καὶ γυμνάζει, μαθεῖν ἔνεστιν ὑπομνησθέντας, ὡς, εἰ μή τις ἀκριβῶς
τὴν ῥοπὴν τῆς σφαίρας, εἰς ὅ τι φέροιτο, προαισθάνοιτο, διαμαρτάνειν τῆς λαβῆς ἀναγκαῖόν ἐστιν
αὐτόν. τοῦτο δὲ καὶ τὴν γνώμην θήγει τῇ φροντίδι τοῦ τε μὴ καταβαλεῖν καὶ τοῦ διακωλῦσαι. φροντὶς
δὲ μόνη μὲν καταλεπτύνει, μιχθεῖσα δέ τινι γυμνασίῳ καὶ φιλοτιμίᾳ καὶ εἰς ἡδονὴν τελευτήσασα τὰ

---

1. ὅταν μὲν γὰρ LPar. — μὲν om: MEditt. — ἀφαρπάσαι L² (ex ὑφ. corr.) Par. — **2.** τὴν μεταξὺ Casaubonus apud Meineke Com. Gr. fragm. III p. 137 extr.; τὸ supra addita lit. ν: L; τὸ B in mrg.; τῶν M. τὸν Par.Editt. — αὐτὸ Editt.; οὕτως L¹ (sed in ras.); Par. — **3.** ἀναμεμιγμένῳ M. — διαπονεῖσθαι LPar.MA. — πονεῖσθαι BCh.K. — **4.** ἀμμάτων περιθέσεσι nos; ἀμμάτων πθέσεσι (ε supra) L. cf. Nott. — ἀμμάτων παραθέσεσι Par. — ἀμμάτων παραθέσεσι καὶ ἐπιθέσεσι Hlmr. — ὀμμάτων μετάρσεσι καὶ θέσεσι MEditt. — **5.** ἐν τούτῳ L²Par; ἐν om: MEditt. — **6.** καὶ γὰρ οὖν καὶ L in mrg. per compendia scripta; id quod Hlmr. fugit. — ἑδραιοτάτης δεῖ nos ex L: ἑδραῖατ δεῖ et Par. τ᾽ ἑδραῖα τε δεῖ. — ἐν τῷ BCh.K; ἐν om: LPar.MA. — **7.** τὰ πλάγια Editt.M; — τὸ πλάγιον LPar. — γυμνάσιον, ἀλλ᾽, εἰ nos. — γυμνάσιον. Ἀλλ᾽ εἰ Codd.Editt. — μόνον ἐστὶ Editt.; om: ἐστὶ Codd. δικαιότατα LPar.Hlmr. δικαιότατον MEditt. — **8.** πάντα αὐτῶν a m¹ corr. ex πάντων αὐτῶν Par. — πάν^τ L. — πάντ᾽ αὐτῶν Editt. — προϊοῦσιν LPar. — προσιοῦσι MEditt. Post μύες fortasse inserendum est κάμνουσι, quod L et Par. in mrg. scriptum exhibent **9.** τὰ πλάγια M. cf. Gal. IV, p. 19. — τὸ πλάγιον LPar.Editt. — **10.** ἀνωμάλως οὗτος καὶ ἀνίσως nos ex L¹; ὁμάλως οὕτως καὶ ἴσως L²; θέοντες ὁμαλῶς καὶ ἴσως Par. θέοντες ἀνωμάλως, καὶ οὕτως ἀνίσως MEditt. — γυμνάζῃ L¹ γυμνάζειν LPar. γυμνάζει τὰ μέρη M; τὰ μέρη γυμνάζει Editt. — **11.** Ante ὡς δὲ in editionibus verba ex antecedentibus male repetita leguntur τοῖς εἰς τὸ πλάγιον μεθισταμένοις. ἀλλὰ καί. Deleta tamen sunt in L et omissa in Par. et ab Hlmr. — δὲ add: LPar. — οὕτως Par. — ταῖς χερσὶ LPar.; ταῖς om: MEditt. — **12.** ἐρεθιζομένων L („ut vid. pr. m. spscr."); ἐθιζομένων ceteri et Editt. κἀνταῦθα LPar. — ἐνταῦθα MEditt. — **13.** ἴσον L. ἀνάπαυλαν τε L. ἀνάπαλιν Par. Post ἀνάπαυλαν verba haud dubie interpolata τοῖς ἡσυχάζουσι τὸν χρόνον τῶν ἐνεργούντων consentiente Hlmr. extrusimus; τοῖς ἡσυχάζουσι εἶναι LPar. μέρει εἰς πάντας M. — **14.** παραπαν sine acc. spscr. L². — οὔτε κόποις om: L¹ sed add. in mrg. L²M. — ἀλλ᾽ ἴκεσθαι L; ἄλλ᾽ ἴβεσθαι Par. — **15.** ὄψιν δ᾽ ὅτι καὶ γυμνάζει nos ex L: δὲ δει^πῶς γυμνάζειν; δὲ δεῖ πῶς γ. Par; ὅτι — γυμνάζει M. Hlmr. — **16.** εἰς ὅ τι L in ras. Par. ὅποι MEditt. — **17.** ἐστὶν αὐτῷ LPar; om. ἐστὶν MEditt. αὐτόν M nos. τοῦτο nos. Codd.Editt.: ἐν τούτῳ; — θήγει L²Par. ἴσην L¹MEditt; τὴν φροντίδα M. — καταβάλλειν M. καταλαβεῖν Par. — Post διακωλῦσαι expunximus verba h. d. spuria τὸν (L¹B in marg. τὸ) μέσον ἢ αὐτὸν ὑφαρπάσαι ἐν τούτῳ καταστaίη. — ἢ ἐν τούτῳ Par. — εἰ ἐν τούτῳ Hlmr. μόνη μὲν LPar; om: μὲν MEditt. — **18.** καὶ εἰς ἡδ. LPar. om: καὶ MEditt. —

μέγιστα καὶ τὸ σῶμα πρὸς ὑγίειαν καὶ τὴν ψυχὴν εἰς σύνεσιν ὀνίνησιν. οὐ σμικρὸν δὲ καὶ τοῦτ' ἀγαθόν,
ὅταν ἄμφω τὸ γυμνάσιον ὠφελεῖν δύνηται, καὶ σῶμα καὶ ψυχήν, εἰς τὴν ἰδίαν ἑκάτερον ἀρετήν. ὅτι δ'
ἀσκεῖν ἄμφω δύναται τὰς μεγίστας ἀσκήσεις, ἃς μάλιστα μετιέναι τοῖς στρατηγοῖς οἱ πόλεως βασι-
905 λεῖς νόμοι κελεύουσιν, οὐ χαλεπὸν κατιδεῖν. ἐπιθέσθαι γὰρ ἐν καιρῷ καὶ λαβεῖν ἐπιθέμενον, καὶ
ὀξυλαβῆσαι τὴν πρᾶξιν, καὶ σφετερίσασθαι τὰ τῶν ἐναντίων ἢ βιασάμενον ἢ ἐξ ἀδοκήτου ἐπιθέμενον,
καὶ φυλάξαι τὰ κτηθέντα τῶν ἀγαθῶν στρατηγῶν ἔργα· καὶ τὸ σύμπαν φάναι, φύλακά τε καὶ φῶρα δει-
νὸν εἶναι χρὴ τὸν στρατηγόν, καὶ ταῦτ' αὐτοῦ τῆς ὅλης τέχνης τὸ κεφάλαιον. ἆρ' οὖν ἄλλο τι γυμνά-
σιον οὕτω προσεθίζειν ἱκανόν, ἢ φυλάττειν τὸ κτηθέν, ἢ ἀνασώζειν τὸ μεθεθέν, ἢ τῶν ἐναντίων τὴν
γνώμην προαισθάνεσθαι; θαυμάζοιμ' ἄν, εἴ τις εἰπεῖν ἔχοι. τὰ πολλὰ γὰρ αὐτῶν αὐτὸ τοὐναντίον
ἀργοὺς καὶ ὑπνηλοὺς καὶ βραδεῖς τὴν γνώμην ἐργάζεται. καὶ γὰρ καί, ὅσοι κατὰ παλαίστραν πονοῦσιν,
εἰς πολυσαρκίαν μᾶλλον ἢ ἀρετῆς ἄσκησιν φέρει. πολλοὶ γοῦν οὕτως ἐπαχύνθησαν, ὡς δυσχερῶς
ἀναπνεῖν. ἀγαθοί γ' οὐδ' ἂν οἱ τοιοῦτοι πολέμου γένοιντο στρατηγοὶ ἢ βασιλικῶν ἢ πολιτικῶν πραγμά-
των ἐπίτροποι· θᾶττον ἂν τοῖς ὑσὶν ἢ τούτοις τις ὁτιοῦν ἐπιτρέψειεν. ἴσως δ' οἰήσει με δρόμον ἐπαι-
906 νεῖν καὶ τἆλλ' ὅσα καταλεπτύνει τὸ σῶμα γυμνάσια. τὸ δ' οὐχ οὕτως ἔχει. τὴν γὰρ ἀμετρίαν ἐγὼ
πανταχοῦ ψέγω, καὶ πᾶσαν τέχνην ἀσκεῖν φημι χρῆναι τὸ σύμμετρον, καὶ εἴ τι μέτρου στερεῖται, τοῦτ'
οὐκ εἶναι καλόν. οὔκουν οὐδὲ τοὺς δρόμους ἐπαινῶ τῷ τε καταλεπτύνειν τὴν ἕξιν καὶ τῷ μηδεμίαν
ἄσκησιν ἀνδρείας ἔχειν. οὐ γὰρ δὴ τῶν ὠκέως φευγόντων τὸ νικᾶν, ἀλλὰ τῶν συστάδην κρατεῖν δυνα-
μένων, οὐδὲ διὰ τοῦτο Λακεδαιμόνιοι πλεῖστον ἠδύναντο τῷ τάχιστα θεῖν, ἀλλὰ τῷ μένοντες θαρρεῖν.
εἰ δὲ καὶ πρὸς ὑγίειαν ἐξετάζοις, ἐφ' ὅσον ἀνίσως γυμνάζει τὰ μέρη τοῦ σώματος, ἐπὶ τοσοῦτον οὐδ'
ὑγιεινόν. ἀνάγκη γὰρ αὐτῷ τὰ μὲν ὑπερπονεῖν, τὰ δ' ἀργεῖν παντελῶς. οὐδέτερον δ' αὐτῶν ἀγαθόν,
ἀλλ' ἄμφω καὶ νόσων ὑποτρέφει σπέρματα καὶ δύναμιν ἄρρωστον ἐργάζεται.

Cap. IV. Μάλιστ' οὖν ἐπαινῶ γυμνάσιον, ὃ καὶ σώματος ὑγίειαν ἱκανὸν ἐκπορίζειν καὶ μερῶν εὐαρμοστίαν καὶ ψυχῆς ἀρετήν, ἃ πάντα τῷ διὰ τῆς σμικρᾶς σφαίρας ὑπάρχει. καὶ γὰρ ψυχὴν εἰς

1. τὰ μέγ. L^2 (τὰ supra add.); Par.MEditt. καὶ τὸ σῶμα L (καὶ sup. add.); Par; om: καὶ MEditt. — ὀνήνησιν LPar. ὀνίνησι MEditt. — **2**. ἑκάτερον MHlmr. ἑκατέρων L^1; ἑκατέραν L^2; ἑκάτερα Par. ἑκατέρου Editt. — **3**. στρατηγοῖς nos; Codd.Editt. στρατηγικοῖς. — βασιλεῖς νόμοι LEditt. νόμοις M. — βασιλεῖς καὶ νόμοι Par. cf. tamen Hlmr. ad h. l. — λαβεῖν L^2Par. Ceteri codd. et Editt. λαθεῖν. — **5**. ἐξ ἀδοκήτου offensioni sunt Hlmr., qui h. v. eicienda esse judicat. Sed opposita sunt verbo βιασάμενον ideoque omitti nequeunt. Cf. Nott. — **6**. τὰ κατηθέντα Par. — φᾶναι LPar. φυλακτέα τε καὶ φώρη M. — **7**. ταῦτ' αὐτοῦ nos et Hlmr. ex L et Par. — ταῦτα τῆς ὅλης τέχνης M. — ταῦτα τ. τ. αὐτῆς ὅλης Editt. — **8**. προσεθίζειν L. — Par.: γρ. τὸ μεθισμενον. (sine acc.) in mrg. m^1. — L: μεθιστάμενον, cui supra scriptum est: γρ. το μεθιτ' unde Hlmr. coniecit τὸ μεθεθέν. — MEditt: τὸ μεθιστάμενον. — **9**. θαυμάζοιμι Par. — **10**. ἀργοὺς γὰρ MEditt. γὰρ om: LPar. — **11**. φέρει LPar.M. φέρουσι Editt. — **12**. ἀγαθοί γ' οὐδ' ἂν LMA. ἀγαθοί τε οὐδ' Par. δ' οὐδ' ἂν Hlmr. ἀγαθοὶ οὐδ' ἂν B. ἀγαθοὶ δ' ἂν οὐδ' K. — γένοιντο Hlmr. γενέσθαι Codd.Editt. — **13**. τοῖς ὑσὶν om: γε LPar.A. τὸ ῥισὶν M. τοῖς γε συσὶν ChK. τοῖς γε εἰσὶν B. — τὸ ὁτιοῦν ἐπιτρέπειν M. (ap. Hlmr. τρέπειεν). — ἴσως δε sine acc. L. δὲ om. Par.M. — **14**. τἆλλ' ὅσα nos. Hlmr.; — τᾶλλα L τἄλλα AB. τἆλλα Par.K. — καταλεπτύνει nos pro vulgari λεπτύνει. cf. v. 16. — **15**. ει῀ L. εἰ τὸ μέτρον οὐ στερ. Par. μέτρον ὑστερ. M. — **16**. οὔκουν nos Hlmr; οὐκοῦν Codd. Editt. cf. Nott. — τῷ τε καταλ. L^1Par; om: τε MEditt. — τὸ μηδ. LPar. τῷ MEditt. ἀνδρείας sprscr. τὸ σῶμα L^1. τὸ σῶμα ἀνδρείας Par; om: τὸ σῶμα MEditt. — **17**. ἀλλὰ τῶν om: καὶ LPar.M. καὶ Editt. — **18**. ἠδύναντο Hlmr.; vide Nott. — τὸ τάχ. L^1M. τῷ τάχ. L^2Par.Editt. — τὸ μεν. LMPar. μένοντες LPar.Hlmr. — μένοντας MEditt. θαρρεῖν LPar; ἀναιρεῖν MEditt. — **19**. εἰ δὲ καί LPar; om: καὶ MEditt. — ἐξετάζεις M. — ἐφ' ὅσον ἂν ἴσως γυμνάζῃ LPar. — **20**. ὑγιαῖνον LPar. γὰρ αὐτῷ LPar. (ab Hlmr. non notatum); γὰρ οὕτω MEditt. — τὰ δ' ἐνεργεῖν — οὐδ' ἕτερον Par. — **22**. Μάλιστ' οὖν LPar. —. ἱκανὸν ἐκπορίζειν LPar.Hlmr. — ἐκπορίζειν MEditt. — **23**. ἃ πάντα τῷ L; ἅπαντα τῷ Par. — ἀρετὴν παρὰ τούτοις τοῦτο δὲ τὸ Editt.; παρὰ τούτοις τὸ om: τοῦτο δὲ M. — ψυχὴν εἰς πάντα LPar.M; εἰς π. ψυχὴν Editt. —

πάντα δυνατὸν ὠφελεῖν καὶ τοῦ σώματος τὰ μέρη δι' ἴσου πάντα γυμνάζει, ὃ καὶ μάλιστα εἰς ὑγίειαν 907
συμφέρει καὶ συμμετρίαν ἕξεως ἐργάζεται, μήτ' ἄμετρον πολυσαρκίαν, μήθ' ὑπερβάλλουσαν ἰσχνότητα
φέρον, ἀλλ' εἴς τε τὰς ἰσχύος δεομένας πράξεις ἱκανόν, καὶ ὅσαι τάχους χρῄζουσιν, ἐπιτήδειον. οὕτω
μὲν οὖν, ὅσον ἐν αὐτῷ σφοδρότατον, οὐδενὸς τῶν πάντων κατ' οὐδὲν ἀπολείπεται. τὸ δὲ
πρᾳότατον ἴδωμεν αὖθις· ἔστι γὰρ ὅτε καὶ τούτου δεόμεθα διά θ' ἡλικίαν ἢ μηδέπω φέρειν ἰσχυροὺς
πόνους ἢ μηκέτι δυναμένην, καὶ κάματον ἐπανεῖναι βουληθέντες ἢ ἐκ νόσου ἀνακομιζόμενοι. δοκεῖ δέ
μοι κἂν τούτῳ πλέον ἔχειν ἑτέρου παντός· οὐδὲν γὰρ οὕτω πρᾶον, εἰ πράως αὐτὸ μεταχειρίζοιο. δεῖ
δὲ μέσως μὲν ἔχοντα μηδὲ συμμέτρου ἀποστάντα, τὰ μὲν ἠρέμα προβαίνειν, τὰ δὲ κατὰ χώραν μένειν,
μὴ πολλὰ διαγυμνασάμενον, ἐπὶ τῷδε τρίψεσι μαλακαῖς δι' ἐλαίου καὶ λουτροῖς θερμοῖς χρῆσθαι. τοῦτο 908
μὲν ἁπάντων ἐστὶ πρᾳότατον, ὥστε καὶ ἀναπαύσασθαι δεομένῳ συμφορώτατον εἶναι καὶ ἄρρωστον
δύναμιν ἀναλαβεῖν δυνατώτατον καὶ γέροντι καὶ παιδὶ συμφορώτατον. ὅσα δὲ τούτου μὲν ἰσχυρότερα, τοῦ
δ' ἄκρως σφοδροῦ πρᾳότερα διὰ τῆς σμικρᾶς σφαίρας ἐνεργεῖται. χρὴ καὶ ταῦτα γιγνώσκειν, ὅστις γ'
ὀρθῶς βούλεται διὰ παντὸς αὐτὰ μεταχειρίζεσθαι. καὶ γὰρ εἴ ποτε δι' ἀναγκαῖον ἔργον, οἷον τὰ πολλὰ
πολλάκις ἡμᾶς καταλαμβάνει, πονήσειας ἀμέτρως ἢ τοῖς ἄνω μέρεσιν ἢ τοῖς κάτω πᾶσιν, ἢ χερσὶ μόναις
ἢ ποσίν, ἔνεστί σοι διὰ τοῦδε τοῦ γυμνασίου τὰ μὲν ἀναπαῦσαι τὰ πρότερον κεκμηκότα, τὰ δ' εἰς τὴν
ἴσην ἐκείνοις κίνησιν καταστῆσαι τὰ πρότερον ἀργὰ παντελῶς μεμενηκότα. τὸ μὲν γὰρ ἐκ διαστήματος
ἱκανοῦ βαλεῖν εὐτόνως, ἢ οὐδὲν τοῖς σκέλεσιν ἢ παντάπασιν ὀλίγον χρώμενον, ἀναπαύει μὲν τὰ κάτω,
τὰ δ' ἄνω κινεῖ σφοδρότερον. τὸ δ' ἐπὶ πλέον διαθέοντα καὶ ὠκέως ἐκ πολλῶν διαστημάτων ὀλιγάκις
προςχρῆσθαι τῇ βολῇ τὰ κάτω μᾶλλον διαπονεῖ. καὶ τὸ μὲν ἠπειγμένον ἐν αὐτῷ καὶ ταχὺ χωρὶς 909
συντονίας ἰσχυρᾶς τὸ πνεῦμα μᾶλλον γυμνάζει, τὸ δ' εὔτονον, τὸ ἐν ταῖς ἀντιλήψεσι καὶ βολαῖς καὶ
λαβαῖς, οὐ μὴν ταχύ γε, τὸ σῶμα μᾶλλον ἐντείνει τε καὶ ῥώννυσιν. εἰ δ' εὔτονόν θ' ἅμα καὶ ἠπειγμένον
εἴη, διαπονήσει τοῦτο μεγάλως καὶ τὸ σῶμα καὶ τὸ πνεῦμα καὶ πάντων ἔσται γυμνασίων σφοδρότατον.

---

1. δι' ἴσου πάντα γ. LPar.; δι' ἴσου μάλιστα γ. πάντα Editt.; δι' ἴσου μαλ. γυμν. om: πάντα M. — **3**. ἐπιτηδείως Par. — **4**. οὖν om: LPar. — σφοδρότατον LPar.AB. σφοδρότητος MKHlmr. — οὐδενὸς LPar. οὐδενὶ MEditt. — ἀπολείπεται LPar. vide Nott. ἐλλείπεται MEditt. — **5**. διά θ' Helmr. διά τε Codd.Editt. εἰ μηδέπω L μὴ δύναιτο Par. — **6**. ἐπανεῖναι MKHlmr. ἐπανιέναι (in ras.) L; Par. — ἔτη*ονίναι AB. ἔτι ὀνίναι Ch. — νόσου L ex ων corr.; Par. νόσων MEditt. cf. Nott. — **7**. εἰ πράως corr. ex πρᾶον L. — **8**. μέσως μὲν ἔχοντα μηδὲ nos. — μέσως μένοντα τηνικαῦτα χρῆσθαι μηδενὶ Editt. μέσως [μένοντα] τ. χρ. μηδὲν Hlmr. — μέσως μενενον τηνικαύτην χρῆσθαι L (in mrg. μένον). — μέσως μένον τηνικαῦτα χρ. Par. — μέσος μένων τῇ κατὰ ταῦτα χρ. M. — συμμέτρου K. — σύμμετρον LPar. — συμμετρίαν M, unde Hlmr.: συμμετρίας. — ἠρέμα L. προβαίνειν — μένειν nos. προβαίνοντα — μένοντα Codd.Editt. — κατὰ χώραν nos Hlmr.; καὶ κατὰ χ. Codd.Editt. — **9**. ἐπὶ τόδε L[1]. ἐπὶ τῷδε L[2]Par.MEditt. — **10**. ἐστὶ om: M. — ἀναπαύσασθαι LPar. — δεομένῳ L. δεομένων Par.M. δεομένοις Editt. — **11**. ἀναλαβεῖν nos. cf. Nott. ἀναλαβέσθαι K. ἀναβαλέσθαι LM. ἀνακαλέσασθαι Par.AB.Hlmr. ἀνακαλέσθαι Ch. — δυνατώτατον MEditt. δυνατώτερον LPar. — **12**. σφοδροτέρου L[1]Par. σφοδροῦ MEditt. — ἐνεργεῖνται L. ἐνεργεῖν, τὰ Par. — γιγνώσκειν L. γινώσκειν Par.MEditt. αὐτὸ Par. — **13**. αὐτὴν μετ. Hlmr. δι' ἀναγκαῖον ἔργον LPar. — καίων ἔργων MEditt. οἷον Par.Helmr. — οἷα in ras. (ex … τὰ) L[1]. — **14**. πονήσας Par. — χερσὶ μόνοις LPar.AB; ποσὶ μόνοις ἢ χερσὶν M. — **15**. διὰ τοῦδε LPar.A. ἐκ τοῦδε MK. ἐν τοῦδε B. — **16**. ἴσην κένωσιν ἐκείνοις M. — καταστῆναι B. — **17**. ἐκ om. LPar. βαλεῖν LPar. βάλλειν MEditt. — οὐδὲν L[2] sprscr. MEditt.; Par: οὐδὲν ἐν τοῖς; μὴ δ' ἐν L[1]. ὀλίγον K; ὀλίγα LPar.M; ὀλίγῳ ABCh. — **18**. πολλῶν διαστημάτων LPar; πολλοῦ διαστήματος MEditt. — **19**. τε προχρ.: Editt. — τε om. LPar.M. Hlmr. — προςχρῆσθαι LPar.; προχρ. MEditt. τὰ κάτω Editt.; εἰς τὸ κάτω LPar.M. — διαπονεῖν LPar.M. — πονεῖ Editt. — ταχὺ om. M. — **20**. γυμνάζειν LPar. γυμνάζει MEditt. — τὸ δ' εὔτονον τὸ ἐν nos Hlmr.; εὔρωστον μὲν (in ras.) LB. — τὸ δ' ἑτέρως τὸ ἐν M; τὸ δ' ἕτεροι, τὸ ἐν Editt. — **21**. μᾶλλον om. M. — θ' ἅμα nos Hlmr.; τ' ἅμα Par.; τε ἅμα Codd.Editt. — **22**. τούτῳ μεγ. M. — γυμνάσιον LPar. —

ἐφ' ὅσον δὲ δεῖ καθ' ἑκάστην χρείαν ἐπιτείνειν τε καὶ ἀνιέναι, γράψαι μὲν οὐχ οἷόν τε — τὸ γὰρ ἐν ἑκάστῳ ποσὸν ἄρρητον· — ἐπ' αὐτῶν δὲ τῶν ἔργων εὑρεῖν τε καὶ διδάξαι δυνατόν, ἐν ᾧ δὴ καὶ μάλιστα τὸ πᾶν κῦρος· οὐδὲ γὰρ ἡ ποιότης ἐστὶ χρήσιμος, εἰ τῷ ποσῷ διαφθείροιτο. τούτου μὲν δὴ τῷ παιδοτρίβῃ μετέστω, τῷ μέλλοντι τῶν γυμνασίων ἀφηγεῖσθαι.

Cap. V. Τὸ δ' ὑπόλοιπον τοῦ λόγου περαινέσθω. βούλομαι γὰρ ἐφ' οἷς εἶπον ἀγαθοῖς προςεῖναι τῷδε τῷ γυμνασίῳ, μηδ' ὡς ἐκτός ἐστι κινδύνων παραλιπεῖν, οἷς τὰ πλεῖστα τῶν ἄλλων περιπίπτει. δρόμοι μὲν γὰρ ὠκεῖς πολλοὺς ἤδη διέφθειραν, ἀγγεῖον ἐπίκαιρον ῥήξαντες· οὕτω δὲ καὶ φωναὶ
910 μεγάλαι θ' ἅμα καὶ σφοδραὶ καθ' ἕνα χρόνον ἀθρόως ἐκφωνηθεῖσαι, μεγίστων κακῶν οὐκ ὀλίγοις αἴτιαι γεγένηνται, καὶ ἱππασίαι σύντονοι τῶν τε κατὰ νεφροὺς ἔρρηξάν τι καὶ τῶν κατὰ θώρακα πολλάκις ἔβλαψαν, ἔστι δ' ὅτε καὶ τοὺς σπερματικοὺς πόρους, ἵνα τὰ τῶν ἵππων ἁμαρτήματα παραλείπω, δι' οὓς πολλάκις ἐκπεσόντες τῆς ἕδρας οἱ ἱππεῖς παραχρῆμα διεφθάρησαν. οὕτω δὲ καὶ τὸ ἅλμα πολλοὺς ἔβλαψε καὶ ὁ δίσκος καὶ τὰ διὰ τοῦ κάμπτειν γυμνάσια. τοὺς δ' ἐκ τῆς παλαίστρας τί δεῖ καὶ λέγειν; ὡς ἅπαντες λελώβηνται τῶν Ὁμηρικῶν Λιτῶν οὐδὲν μεῖον· ὡς γὰρ ἐκεῖνός φησιν ὁ ποιητὴς

χωλαί τε ῥυσαί τε παραβλῶπές τ' ὀφθαλμώ,

οὕτω τοὺς ἐκ τῆς παλαίστρας ἴδοις ἂν ἢ χωλοὺς ἢ διεστραμμένους ἢ τεθλασμένους ἢ πάντως γέ τι μέρος πεπηρωμένους. εἰ δὴ πρὸς οἷς εἶπον ἀγαθοῖς ἔτι καὶ τοῦθ' ὑπάρχει τοῖς διὰ τῆς σμικρᾶς σφαίρας γυμνασίοις, ὡς μηδὲ κινδύνῳ πελάζειν, ἁπάντων ἂν εἴη πρὸς ὠφέλειαν ἄριστα παρεσκευασμένα.

---

1. γράψαιμεν Par.; μὲν sup. add. L. — **2.** διδάξαι Hlmr. ex L: δείξαι; sed etiam Par.; δεῖξαι MEditt. — δὴ καὶ MEditt.; καὶ om. Par. καὶ sup. add. L. — **3.** κύρος LPar. — τούτου — μετέστω K. τούτ'''' L^1 corr. ead. m. τοῦτο; τούτῳ μὲν ex τοῦτο μὲν corr. Par. τούτου μεθίστω M; μεθίσθω ex — θίστω corr. L. — τοῦτο μελέτω Hlmr. — ἀφηγεῖσθαι LPar.Hlmr. — ὑφηγεῖσθαι MEditt. — Antea τὸ˜ (sic) γυμνάσιον L^1 (corr. L^2 in σίων) τὸ γυμνάσιον Par. — **5.** προςεῖναι Hlmr. ex M, sed in nostra collat. non notatum. προςιέναι LPar.Editt. — **6.** ὡς ἐκτός ἐστι K; δ' |||| δὲ | || L; μηδ' ὅσων δ' ἐκτὸς Par. — **7.** ἀγγείων ἐπικαίρων L^1 sed corr. L^2. — **8.** θ' ἅμα nos Hlmr. — **9.** αἴτιαι L^2Par.M. αἴτια L^1Editt. γεγένηνται L^2 sup. add.; Par.; om: MEditt. τῶντε ex τῶδε τε vel ex τόδε τε corr. L^2. — ἔρρηξάν τι Par.MEditt. τι add. L^2. — καὶ τῶν κατὰ LPar.; om: τῶν MEditt. — **10.** σπερματικοὺς om: Par. — **11.** δι' οὓς LPar. δι' ὧν MEditt. δι' ἃ Hlmr. — **12.** πολλοὺς ἔβλαψε L^2 add. in mrg. Par.; om: MEditt. — κάμπτειν MEditt. σκάπτειν LPar. — **13.** ἅπαντες K. ἅπαντα LPar.ABCh.; ὡς ἄν γε λαβὼν τε τῶν ὁμηρικῶν M. ὁμηρίκων Par. — ἐκεῖνος LPar. et M, qui Hlmr. auctore ἐκείνας exhibet. ἐκείνας Hlmr. — **14.** Versum restituimus ex Hom. Jl. IX 503 ed. Dind. et Galen. I p. 30. — χωλαί τ' ἀρυσαιτε ὀφθαλμῶν L^2. χωλαί τε ῥυσαίτε παραβλώπας τ' ὀφθαλμῶν Par. — ῥυσάς τε παραβλώπας τῶν ὀφθαλμῶν M. τοῖς ὀφθαλμοῖς ABCh. — **15.** ἴδης ἂν M. — **16.** πεπληγμένους M. — σμικρᾶς K. μικρᾶς LPar.M. — **17.** ὡς μὴ διὰ κινδύνων M. — ἀσφάλειαν ἄριστα M. — παρεσκευασμένα Editt. παρεσκευασμένων LPar. παρεσκευασμένον M.

Adnotationes.

Ad pag. **3.** (K. 899). Articulum in inscriptione inserendum esse praeter codices LM complures commentarii ipsius docent loci: pag. **3**, 3. **4**, 21. **6**, 23. **7**, 12. **18**, 16.

linea 1. ὡς χρὴ σιτίων ἡγεῖσθαι αὐτά.] De hac re vide Galenum VI p. 131: ἀλλ' ἡ καθ' ἑκάστην ἡμέραν πεῖρα καὶ μνήμη τοῦ ποσοῦ τῶν σιτίων τε καὶ γυμνασίων, οὐδ' ἀργῶς ὁρῶντος τοῦ προεστῶτος, ἀλλ' ἀεὶ μεμνημένου, ὅπως ἔπεψεν ἐπὶ τοσοῖσδε γυμνασίοις τὰ τοσάδε σιτία, πλησίον ἀκριβοῦς ἐπιστήμης ἄγει τὴν διάγνωσιν ἐν τῷ χρόνῳ. — Ibid. p. 135 ἅπαντα γὰρ τὰ τοιαῦτα γυμνάσια γίγνονται μήτε δι' ὅλης ἡμέρας αὐτὰ πραττόντων, μήτ' ἐν ἄλλῳ καιρῷ τοῦ πρὸ τῶν σιτίων.

lin. 5. τὴν ἑαυτοῦ τέχνην.] Constat, ut in Observatt. critt. p. 24. demonstravi, etiam Galenum morem Atticorum secutum saepissime pro pronomine reflexivo, quod dicunt, secundae personae tertiam usurpasse. Exemplis illic allatis addendum est I pag. 225. — οὔτ' ὀκνεῖν τὴν ὁδόν, οὔτ' ἐπιτρέπειν ἑαυτῷ μόνῳ (tibi soli) τὴν πορείαν.

ibidem: ἱκανῶς εἰρῆσθαι [ἂν] δόξειε.] Locum corruptum esse, Editio Aldina testis est, quae post γενησόμενα asteriscum habet.

At omnia bene sese habent, verbis ἱκανῶς εἰρῆσθαι ἂν δόξειε omissis, quae ab eodem librario olim margini adscripta videntur, cuius manum atque ingenium compluribus nostri commentarii locis reprehendimus; velut pag. **4**, 15. [ὡς εἴρηται], pag. **7**, 8. [τηνικαῦτα· χρῆσθαι], pag. **5**, 13. [τοῖς ἡσυχάζουσι τὸν χρόνον τῶν ἐνεργούντων] et paullo infra lin. 17. διακωλῦσαι [τὸν μέσον ἢ αὐτὸν ὑφαρπάσαι ἢ [ὅστις ἂν] ἐν τούτῳ κατασταίη].

lin. 10. (K. 900). ἑάλωσαν ἀνιαθέντες.] cf. VIII p. 301. καὶ μὴν καὶ καθ' ἕτερόν τινα τρόπον, ἐπί τε στομαχικαῖς συγκοπαῖς, ἀλγήμασίν τε σφοδροῖς καὶ φόβοις ἰσχυροῖς, ἡδοναῖς τε μεγίσταις ἀποθνήσκουσί τινες; ibid. p. 302. τῶν τοιούτων ἔνιοι καὶ διὰ λύπην ἀπέθανον.

ibidem: οὐδ' ἔστι δ' οὐδὲν.] Haec codicis Laur. scriptura firmatur locis duobus, quos apud Gal. III, pag. 423. invenies οὐδ' ἐστὶν εὑρεῖν οὐδὲν ζῷον et paullo infra οὐδὲ γὰρ οὐδ' ἄλλου τινὸς ἐφήψατο.

pag. **4**, 5. θ' ἅμα.] Praeeunte Helmreichio, qui cum in hoc libello, tum in editione sua Galeni commentarii De elementis ex Hippocratis sententia pro τε ἅμα scripsit θ' ἅμα, ego quoque θ' ἅμα restitui, quod idem apud Kuehnium hisce locis scriptum inveni: III, 96. 195. 198. 292. 295 415. 430. 438. 459. VIII, 573.

lin. 7. (K. 901). οὔτε τῶν τὰς τέχνας ἐργαζομένων.] Quo ex loco corrigendus est Gal. V, pag. 93, 2 (περὶ ψυχῆς ἁμαρτημάτων): ἧκον δὲ καὶ ἄλλοι τινὲς τῶν φιλολόγων ἀνδρῶν καὶ πεπαιδευμένων ἐν τοῖς μαθήμασιν, αὐτὸ δὲ ἔχειν ἐργαζομένων δι' εὐπορίαν κτημάτων, οὔτε δουλευόντων αἱρέσει τινί ubi pro αὐτὸ δὲ ἔχειν ἐργ. scribendum est οὔτε τέχνην ἐργαζομένων velut etiam I, pag. 7; ita ut alterum οὔτε alteri respondeat.

lin. 14. ἀργίας τὸν καιρὸν ἐπιτηρούσης.] Codd. et Editt. omnes exhibent dittographiam ἀργίας σχολῆς. Hanc vero scripturam veram non esse cum recte intellegeret codicis Laurentiani scriptor, vocem ἀργίας erasit, quam Helmreich eum secutus uncis circumsepsit. At si quid video, non ἀργίας sed σχολῆς expungendum erat. Notum enim est, librarios, si quam vocem rarius usitatam non intellegerent, ad eam explicandam usitatiorem illi appin-

gere solere. Eiusdem generis vitium apud Kuehnium V, pag. 62 v. 4 extat in verbis παραπλήσιον γάρ τι ποιοῦσι τοῖς πρὸ τοῦ πεῖσαι σφᾶς αὐτοὺς ἱκανῶς ἐπὶ τῶν ἀριθμῶν γεγυμνάσθαι τελείωσιν τολμῶσιν ἀποφαίνεσθαί τι, ubi τελείωσιν dittographia ortum est ex τολμῶσιν. Vide Observatt. critt. pag. 43. Alterum huius modi locum videas V, pag. 160. πολλοὺς οὖν ἤδη πολλάκις μονομάχους μονάρχους τε καὶ στρατιώτας — οὕτω τρωθῆναι συνέβη: ad quem locum Cobet Mnemosyne I Nov. Ser. 1873, pag. 432 adnotat: „Scriba dubitans, utrum gladiatores an reges poneret, dedit utrumque." Sed μονάρχους delendum. — Ceterum non abs re erit, quae ipse Galenus de huiuscemodi vitiis suis scriptis adhaerentibus disseruerit, apponere. Dicit enim XVII, 1, pag. 909 de simili quodam vitio apud Hippocratem extante „φαίνεται μὲν γὰρ ὡς ἐξηγήσει προσγραφὲν ὑπό τινος, αὖθις δ' εἰς τοὔδαφος ὑπὸ τοῦ βιβλιογράφου μετατεθεῖσθαι", quibuscum conferenda sunt, quae idem de origine interpolationum in suis ipsius libris disputatavit XVII, 1, pagg. 80 et 634; 2, pag. 249.

Denique ad ἀργίας vocem conferenda pag. 5,14 οὔτ' ἀργοὺς μένειν et pag. 6,10 ἀργοὺς καὶ ὑπνηλοὺς καὶ βραδεῖς τὴν γνώμην ἐργάζεται. Praeterea XIII, 333 διὰ γυμνασίων ἢ ἀργίας et Plato Theaet. 154 B ἡσυχίας καὶ ἀργίας.

pag. 5, 1. (K. 902.) ὅταν μὲν γὰρ συνιστάμενοι.] De hoc ludo vide quae infra de sphaeromachiis veterum disputavimus.

lin. 2. πολλοῖς μὲν τραχηλισμοῖς.] cf. Gal. III, 182: ἄνθρωπος δ' εἰ μὴ τὸν τράχηλον ἀνακλάσειεν εἰς τοὐπίσω, τὸν οὐρανὸν οὐκ ἄν ποτε θεάσαιτο.

lin. 4. ταῖς τε τῶν ἁμμάτων περιθέσεσι.] Sic locum corruptissimum et interpolatione male turbatum sanasse mihi videor ex Cod. Laur. scriptura τῶν ἁμμάτων π̅θέσεσι. Est enim haec elocutio ἁμμάτων περίθεσις de palaestra petita. Vide Gal. VI, pag. 145: δύναιτο δ' ἂν καὶ περὶ τὴν κεφαλὴν ἄκραν τὸ ἅμμα περιθεὶς ἀνακλᾶν εἰς τοὐπίσω βιαζόμενος et ibid. pag. 451: ἐπί τε τοὺς εἰρημένους ἡκέτω πόνους καὶ πρὸς τούτοις ὅσα διὰ τῆς τῶν ἁμμάτων περιθέσεως τρίβουσι. Cf. etiam ibid. pag. 142: ἐν κύκλῳ τοῖς λαγόσι περιβαλὼν τὰς χεῖρας.

lin. 6. (K. 903.) καὶ γὰρ οὖν καὶ.] Eandem particularum cumulationem habes apud Galenum saepissime velut tom. III, p. 403; VII, pp. 5 et 6. — καὶ γὰρ δὴ καὶ III, 287. 312. — καὶ μὲν δὴ καὶ III, 298. 432. 455. — καὶ μέν γε καὶ III, 408. 411. 416. — καὶ γάρ τοι καὶ III, 427.

ibidem: ἑδραιοτάτης δεῖ τῆς βάσεως.] cf. Gal. I, p. 5: ἡ βάσις (τοῦ Ἑρμοῦ) τὸ πάντων σχημάτων ἑδραιότατόν τε καὶ ἀμεταπτωτότατον ἔχει τὸν κύβον. — III, p. 189: δῆλον, ὡς εἰς ἀσφάλειαν ἕδρας οἱ πλατεῖς καὶ προμήκεις πόδες ἐπιτήδειοι, καὶ διὰ τοῦτ' ἀνθρώποις ἐγένοντο, πλέον ἢ κατὰ τὰ τετράποδα ζῷα βαδίσεως ἑδραίας δεομένοις. — ibid. p. 257: τούτου τοῦ μυὸς αἱ ὄπισθεν ἶνες αἱ ἐξ ἰσχίου πεφυκυῖαι στηρίζουσιν ἑδραῖον τὸ σκέλος.

lin. 10. καθάπερ οἱ θέοντες, ἀνωμάλως οὕτος καὶ ἀνίσως.] Sic locum difficillimum et ab omnibus hucusque parum percognitum atque intellectum facillimo negotio interpunctionis signo transposito me sanasse spero. Eadem sententia recurrit pag. 6,19.: εἰ δὲ πρὸς ὑγίειαν ἐξετάζοις, ἐφ' ὅσον ἀνίσως γυμνάζει τὰ μέρη — οὐδ' ὑγιαινόν et quae sec., ἀνωμάλως enim non cum participio θέοντες, sed cum ἀνίσως conjungendum est.

lin. 17. (K. 904.) τοῦ διακωλῦσαι [τὸν μέσον ἢ αὐτὸν ὑφαρπάσαι, ἐν τούτῳ καταστατίη]. Hic locus, qualis in codicibus et editionibus extat, sensu omnino caret, neque succurrit ei Helmreich, qui ante ἐν τούτῳ e codicis latini auctoritate particulam εἰ inseruit. Fortasse in codice Laurentiano, id quod Helmr. contendit sed Vitellius non adnotavit velut in Par. particula ἢ scripta fuit.

Tum vero haec verba τὸν μέσον — καταστταίη, quippe quae ex loco antecedenti (lin. 2.) orta videantur, maximam suspicionem movent. Quid enim, si post ὑφαρπάσαι exciderunt vocabula: ὃς ἂν? Quod mihi si concesseris, sententiam interpolationis hanc esse non negabis: „Supplendum ad διακωλῦσαι objectum quoddam aut τὸν μέσον, aut αὐτὸν aut quicunque in eo (?) stetit.“ Igitur non dubitavi verba illa spuria tamquam glossema a Galeno alienum expungere. Quemadmodum enim Galenus infinitivum καταβαλεῖν absolute posuit, ita infinitivum διακωλῦσαι sine objecto, quod ex priore loco facile suppleri potest, usurpavit.

pag. 6, 5. (K. 905.) ἐξ ἀδοκήτου.] Haec vocabula Helmreichio offensioni erant propter hiatum. Sed parum recte. Nam primum haec vocabula omitti nequeunt, quia opposita sunt participio βιασάμενον. Tum mihi quidem persuasum non est Galenum post diphthongum ου hiatum tam diligenter evitasse. Cf. pag. 7, 6. ἢ ἐκ νόσου (L[2]) ἀνακομιζόμενοι et paullo infra lin. 8. συμμέτρου ἀποστάντα et Iwan. Mueller ad Galeni libellum Ὅτι ὁ ἄριστος ἰατρὸς καὶ φιλόσοφος (Edit. altera), Erlang. 1875, pag. 41.

Denique hanc elocutionem habes apud Dionysium Halic. A. R. III, 64 et VI, 53: ἐκ τοῦ ἀδοκήτου. Thucyd. VI, 47: ἢ μή τι δι' ὀλίγου καὶ ἀπὸ τοῦ ἀδοκήτου ἢ Λεοντίνους οἷοί τε ὦσιν ὠφελῆσαι.

